προςάται θαυμάζειν ἔπεσιν, οἱ τῶν ἐμφύτων ἰδεῶν ὑπερασπιζόμενοι, ϗ ἀποφάνσεις οὐχ ἧττον ϗ συλλογισμοὺς τινὰς ἐμφύτους εἶναι ψυχαῖς κατὰ τὸ αὐτὸ ἀποφαίνονται. Καὶ τοῦτο μέντοι οἰςὸν ἂν ἦν τοῖς Πλατωνικοῖς τὴν τῶν ψυχῶν προΰπαρξιν ὑποτιθεμένοις τε ϗ ἀσπαζομένοις, ἀλλὰ τὸ ἀποπτύσαντας τὴν προΰπαρξιν ἀντέχεσθαι δόγματος τοῦ ἐξ αὐτῆς ἠρτημένου, ὅμοιόν ἐςι ϗ διακαλλύνειν πειρᾶσθαι σῶμα ἀκέφαλον. Τὸν αὐτὸν δὲ τρόπον καὶ αἱ τῶν ἀριθμῶν ἀφῃρημέναι ἰδέαι ϗ τῶν ἀναλογιῶν ἔχουσιν ἀναπτύσσεσθαι. Ἀναφύονται γὰρ ϗ αὗται εἴτε ἀπὸ τῆς τῶν αἰσθητῶν διαιρέσεως, εἴτ' οὖν ϗ διὰ μελέτης, ϗ εἰκασίας, ὅπερ οὐκ ἂν οὐδὲ αὐτοὶ ἔξαρνοι γένοιντο, ἄχρις οὗ μελέτῃ ϗ εἰκασίᾳ χρησαμένην τὴν ψυχὴν πολλοῖς ἐπιβάλλειν, οἷς ἠγνόει τὸ πρίν, ἀναγκάζονται καθομολογῆσαι.

## ΚΕΦΑΛ. Δ'.

## Περὶ ἀνθρώπου ἐλευθερίας ϗ ἐκτάσεως αὐτῆς.

### Πρότ. Μ'.

„Ἡ ἀνθρώπου ψυχὴ ἐλευθέρα ἐςὶν, ἀλλ' οὐκ ἐπὶ πάντων.

### Δεῖξις.

Ἐλευθερία ἐςὶν ἡ δύναμις, ᾗ κατὰ λόγον τοῦ ἀγαθοῦ, ἢ φαύλου, μὴ ἄκοντες, ἀλλὰ σὺν ἡδονῇ ἐνεργεῖν πεφύκαμεν (ὁρ. ιγ'). Πολλὰ δ' ἐςὶ, περὶ ἃ οὕτως ἅπαντες ἄνθρωποι ἐνεργοῦσι (δῆλον δὲ ἐξ ἐνδοτάτης συνειδήσεως). Ἄρα ἡ ψυχὴ κτ:. Ο. Η. τὸ Α'.

Ἀλλ' εἰσὶ ϗ ἃ ἄκοντες πάσχομεν, ἐφ' οἷς τε χαλεπαινόμεθα. Ἔςι δ' ἃ ταῖς ἡμετέραις οὐ κεῖται βουλήσεσιν οὐ μόνον τῶν κατὰ τὸ σῶμα, ἀλλὰ ϗ τὴν ψυχήν. Ἔςι δὲ ϗ πρὸς ἃ ἡ τῆς ἡμῶν φύσεως δύναμις οὐκ ἐξικνεῖται. Ταῦτα γοῦν, ὡς ἐκ τοῦ ἐν ἡμῖν λόγου μηδαμῶς διϊθυνόμενα, τοιαῦτα ἐςὶ, περὶ ἃ οὐκ ἐσμὲν ἐλεύθεροι (ὁρ. ιβ'.). Ο. Η. τὸ Β'.

### Πρότ. ΜΑ'.

„Ἄνθρωπος ἐλεύθερος ἐςὶν ἀναγκασμοῦ τε ϗ βίας.

### Δεῖξις.

Ἡ γὰρ ἐπὶ τὸ ἐνεργεῖν δύναμις, ἣν οὐκ ἔςι τις εἱμαρμένη ἡ συναρπάζουσα ϗ συμπαρασύρουσα, αὕτη ἐςὶν ἡ ἐλευθερία ἡ ἀπὸ ἀναγκασμοῦ (σχόλ.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὁρ. ιγ΄). Εἱμαρμένη δὲ εἰσήχθη τριττὴ, ἥτε κατὰ Δημόκριτον, καὶ ἡ κατὰ τοὺς Στωϊκοὺς, καὶ ἡ κατὰ Σπινόζαν (ὁρ. νβ΄. μέρ. Α΄). Τούτων δὲ κρείττονες ἐσμὲν ἄνθρωποι (Πρ. ΙΒ΄. ΟΓ΄. ΟΕ΄. μέρ. Α΄.). Ἄνθρωπος ἄρα ἐλεύθερος κτ.

Εἶτα καὶ ἐλευθερίαν ἀπὸ ἀνάγκης φαμὲν, κινητικοῦ ὄντος αὐτοῦ δὴ τοῦ λόγου τοῦ ἐν τῇ ἐνεργούσῃ ἀρχῇ (σχ. ὁρ. ιγ΄). Τῆς δὲ ἐν ἡμῖν ἐλευθερίας τὸ κινητικὸν ὁ λόγος ὁ ἐν ἡμῖν (ὡς ἐκ συνειδήσεως οἴδαμεν). Ἔστιν ἄρα ἐν ἡμῖν ἡ ἀπὸ ἀναγκασμοῦ καὶ βίας ἐλευθερία.

## Πρότ. ΜΒ΄.

„Τὰ τὴν ἀνθρώπου ἐλευθερίαν διορίζοντα εἰσὶν αἱ ἀντιλήψεις τοῦ ἀγα-
„θοῦ ἢ κακοῦ. Καθ' αὐτὸ δῆλον ἐκ τῆς ἐν ἡμῖν ἐνδοτάτης συνειδήσεως μαρτυρούμενον.

## Πρότ. ΜΓ΄.

„Ἡ ἐν ἀνθρώπῳ ἐλευθερία τοιαύτη ἐστὶ καὶ ἀπὸ ἀνάγκης φύσεως.

### Δεῖξις.

Τὸ γὰρ ἐλεύθερον τὸ ἠρτημένον ἐξ αἰτίων, μηδ' ἀπολύτως ἀπείρων, μηδὲ καθ' ἕνα καὶ μόνον τρόπον τὴν ἐνέργειαν διωρισμένων, ἐλευθερία ἐστὶν ἀπὸ ἀνάγκης φύσεως. Ἔστι δὲ τοιαύτη ἡ ἐν ἀνθρώπῳ ἐλευθερία· διοριστικὴ γὰρ αὐτῆς γίγνεται ἡ τῶν ἀγαθῶν καὶ κακῶν ἀντίληψις (Πρ. ΜΒ΄.), τῶν πεπερασμένων μὲν τὴν ἐνέργειαν (ἣν τὰς τοῦ ἀκροτάτου ἀγαθοῦ καὶ τοῦ ἄκρου κακοῦ ἀντιλήψεις ἐξέλῃς), μεταβλητῶν δὲ τὴν φύσιν, καὶ ποικίλων, καὶ ἀορίστων ὄντων, ὡς δῆλον. Ἄρα κτ.

## Πόρισμα Α΄.

Ἔνεστι τῷ ἀνθρώπῳ ἐλευθερία ἡ κατὰ ἀδιαφορίαν. Ἐπειδὴ γὰρ ἄνθρωπος ἐλεύθερός ἐστιν ἀπὸ ἀναγκασμοῦ (Πρ. ΜΑ΄.), καί γε ἀπὸ ἀνάγκης φύσεως (Πρ. ΜΓ΄.), κινεῖται δὲ κατὰ λόγον ὑπὸ τῶν οὐδ' ἀπείρων τὴν ἐνέργειαν, οὐδ' ἕνα δὴ καὶ μόνον τρόπον διωρισμένων αἰτίων, ἑπόμενόν ἐστιν αὐτῷ ἐνεῖναι καὶ τὴν κατὰ ἀδιαφορίαν καλουμένην ἐλευθερίαν.

## Πόρισμα Β΄.

Ἔστι καί ποτε ἡ ἀνθρώπου ἐλευθερία κατὰ ἀντίφασιν καὶ ἐναντίωσιν. Ἔστι γὰρ κατὰ ἀδιαφορίαν (Πόρ. Α΄.)· ἡ δὲ ἀδιαφορία αὕτη ὑπὸ αἰτίων τῶν κατὰ λόγον διορίζεται. Τὰ δὲ κατὰ τὸν λόγον παραίτια καὶ κινητικὰ γινόμενα, τἀγαθά ἐστιν, ἢ φαῦλα τὰ ἀντιληπτὰ (Πρ. ΜΒ΄.). Εἴη δ' ἂν τὸ ἀν-

τιληπτὸν ἀγαθὸν τῷ ὄντι κακὸν, ἢ γοῦν τὸ ἀντιληπτὸν κακὸν τῷ ὄντι ἀγαθὸν, ὡς δῆλον. Καὶ οὕτως ἐκ δυοῖν ἀγαθῶν προκειμένων, οὐ μόνον θάτερον ἀντὶ θατέρου ἑλέσθαι δυνάμεθα, ἀλλὰ καὶ ταυτὸν ἑλέσθαι, ἢ μὴ, καὶ τὸ φαῦλον προελέσθαι τοῦ κρείττονος ἔχομεν.

## Σχόλιον.

Ἐκ δὴ τούτων ἁπάντων φανερὸν ῥίζαν οἱονεὶ εἶναι τῆς ἐν ἀνθρώπῳ ἐλευθερίας τὸν λόγον, καὶ ἀληθεύειν τὸ παρὰ τοῖς Σχολαστικοῖς, ὅτι τὸ ἐλεύθερον οὐσιωδῶς κεῖται πᾶν ἐν τῷ λόγῳ τῷ διὰ τῆς ὀρέξεως ἐνεργοῦντι. Συμβαίνει δὲ ἄρα ἐξηπατῆσθαι τοὺς νοοῦντας τὴν ἐλευθερίαν ὡς δύναμιν, ἧς ἅπαν διοριστικὸν αἴτιον ἀπελήλαται, οἵα περ οὐδ᾽ ἔστιν, οὐδὲ προσήκει τῇ λογικῇ φύσει. Ἀλλὰ καὶ τοῦτο οὐχ ἧττον καταφανὲς, ὡς ἐκ τῆς τοῦ λόγου πηγῆς ἀμέσως ἐκπηγάζουσα ἡ ἐλευθερία, οὐδὲν ἧττον ἔσται κυρίως τοιαύτη, καίτοι παρ᾽ ἄλλων ὡς συναιτίων, οἷον κράσεως, ἧς ἔλαχε τὸ σῶμα, καὶ τῆς τῶν ἐκτὸς πραγμάτων ἐνεργείας, καὶ τῆς παρὰ τοῦ Θεοῦ συνεργείας βοηθουμένη· ὡς οὐδὲν παρίησι τὸ αἴτιον εἶναι, κἂν ὑφ᾽ ἑτέρων πρὸς ἐνέργειαν σπεῦδον προάγηται. Ἣν γὰρ ἔχει πρὸς ἐνέργειαν δύναμιν διασώζουσα ἡ ψυχὴ, καὶ κατὰ λόγον τοῦ ἀγαθοῦ δι᾽ ἐπιθυμίας ἐνεργοῦσα, ἢ τοῦ κακοῦ δι᾽ ἀποστροφῆς, κἂν καὶ τῆς παρὰ τῶν ἄλλων τυγχάνοι ἐπικουρείας, τὸ ἐλεύθερον ἀπαραλύμαντον κτήσεται. Καὶ ἧπου σαθρὰ τὰ σοφίσματα τὰ ἔκτε τῆς κράσεως, καὶ τῶν ἔξω σωμάτων, καὶ τῆς Θεοῦ συνδρομῆς, οἷς τὴν ἐν ἀνθρώπῳ ἐλευθερίαν τινὲς ἀναιρεῖν οἴονται.

## Περὶ φύσεως καὶ ἰδιωμάτων ἐλευθερίας ἀκριβέστερον.

Α'. Θεωρητέον τὴν ἀνθρώπου φύσει προσήκουσαν καὶ οὖσαν ἐλευθερίαν, οὐχ ἣν ἂν εἶναι ἑλοίμεθα.

Β'. Ἔνεστι δὲ πᾶσιν ἀνθρώποις (ὡς φύσει πάντες ἑαυτοῖς συνειδότες εἰσὶν) ἐλευθερία τοιάδε, καθ᾽ ἣν κατὰ λόγον τοῦ ἀντιληφθέντος ἀγαθοῦ ἢ κακοῦ, σὺν ἡδονῇ ἑκόντες, καὶ οὐχὶ ἄκοντες καὶ καταναγκαζόμενοι ἐνεργεῖν πεφύκασι.

Γ'. Καὶ ἐλεύθεραι ἄρα ἀκούουσιν αἱ ἐνέργειαι αἱ κατὰ λόγον τοῦ ἀγαθοῦ, ἢ κακοῦ σὺν ἡδονῇ ἀνυόμεναι. Αἱ δὲ μὴ ἀπὸ τοῦ ἐν ἡμῖν λόγου, οὐδ᾽ ἀπὸ βουλήσεως τῆς ἡμετέρας, ἀναγκαῖαι.

Δ'. Θέλησις ἐστὶν ἔσχατος νοῦ διορισμὸς, ᾧ αἱρούμεθά τι, ἢ ἀποστρεφόμεθα μετὰ λόγου, ἢ ἀγαθὸν ὂν, ἢ κακὸν θεωρούμενον. Καὶ λόγος ἄρα ἀπο-

χρῶν τῆς μὲν αἱρέσεως τὸ λόγῳ ἀντιληπτὸν γινόμενον ἀγαθὸν, τῆς δ' ἀποστροφῆς τὸ φαῦλον. Συνῆπται δὲ ἡδονῇ μὲν ὁ πρῶτος λόγος, ἀηδίᾳ δὲ ϗ ἀνίᾳ ὁ δεύτερος, ὡς εἶναι τῶν μετ' ἐλευθερίας ἐνεργημάτων προσεχῆ κινητικὰ τὰς ἡδονὰς ϗ ἀνίας, οἷς ὁ λόγος ὡς ὀργάνοις κλίνει τὴν θέλησιν.

Ε'. Τῆς δὲ θελήσεως τεθείσης, πολλαὶ ἐνέργειαι αὐτίκα τελοῦνται ἢ παύονται, ὡς δῆλον ἐπὶ πολλῶν κινημάτων σωματικῶν ϗ ψυχικῶν ἐνδοτέρων τινῶν διαθέσεων.

ϛ'. Τούτων οὖν ἄμεσον αἴτιον ἡ θέλησις, ἤτοι ὁ ἔσχατος τοῦ νοῦ διορισμὸς κατὰ λόγον τοῦ ἀγαθοῦ ἢ κακοῦ θεωρουμένων τελούμενος (§. δ'.). Ἐπεὶ δὲ τῆς θελήσεως ἀμέσως διοριστικὸν ἡδονὴ, ἢ ἀνία (αὐτ.)· ἡδονῆς δὲ ϗ ἀνίας παραίτιος ἡ τοῦ ἀγαθοῦ ἢ κακοῦ ἀντίληψις, ἄμφω δὴ ταῦτα ὡς αἴτια ἐπιθεωρεῖται ἄμεσα μὲν οὐδαμῶς, στενῶς δὲ λίαν συνημμένα, τῶν τε ἐνεργειῶν ϗ καταπαύσεων, ἐφ' ἃς ἅπασαι αἱ μετὰ ἐλευθερίας πράξεις, ὡς ἐπὶ γένη ἀνάγονται. Εἰ δὲ ϗ ἄλλα ὕπεστι συναίτια (Σχόλ. Πρ. ΜΓ'.), ἀλλ' ἐπεὶ ταῦτα τὸ ἐνεργὸν τῆς ψυχῆς ϗ δραστήριον ἀναιρεῖν οὐ πεφύκασιν, ἀπαιδευσία ἐστὶν ἐξ αὐτῶν (εἰμή τις ψιλὸν εἶναι μηχάνημα τὴν ἀνθρώπου φύσιν ἀλόγως διϊσχυρίζοιτο) τὴν ἀρχὴν τῶν ἡμετέρων ἐνεργειῶν ἀπαιτεῖν.

Ζ'. Ἐν πλείοσιν οὖν ἄνθρωπος τυγχάνει ἐλεύθερος ὤν. Ἐλευθερία γάρ ἐστι δύναμις τοῦ ἐνεργεῖν ἢ παύεσθαι κατὰ λόγον σὺν ἡδονῇ (§. β'.). Ἐν πλείοσι δὲ ἐνεργοῦμεν, ἢ παυόμεθα τοῦ ἐνεργεῖν, κατὰ λόγον σὺν ἡδονῇ (§. ε'.). Ἐν πλείοσιν ἄρα ἐλεύθεροι ἐσμέν. Λέγω δ' ἐν πλείοσιν, οὐ γὰρ ἐν πᾶσι, τῆς ἐν ἡμῖν ἐλευθερίας ὁρίοις τισὶν ἐκπερατουμένης (Πρ. Μ'.).

Η'. Τῇ ἐν ἡμῖν ἐλευθερίᾳ αἵτε φυσικαὶ κλίσεις, ϗ αἱ ἀποστροφαὶ, ἤτοι ἡ κατὰ φύσιν ἐνοῦσα ἡμῖν δύναμις ϗ ῥοπὴ εἰς θήραν τοῦ ἀγαθοῦ, ϗ τὴν ἀπὸ τοῦ κακοῦ ἀποχὴν, οὐκ εἰσὶν ὑποκείμεναι. Εἰσὶ γὰρ ἀπὸ φύσεως αἱ ὁρμαὶ αὗται, τὰ δὲ κατὰ φύσιν οὐκ ἔστιν ἐλεύθερα. Εἶτα ϗ ἀδιαλείπτως αὗται ἡμῖν ἐπενεργοῦσι, βουλῆς οἱασοῦν, ϗ ἑπομένως τῆς χρήσεως τοῦ ἐλευθέρου ἡγούμεναι. Ἔνθεντοι ϗ αἱ ἐκ τούτων ἐνέργειαι ἀνθρώπου μὲν, οὐκ ἀνθρώπινοι δὲ τοῖς φιλοσοφοῦσιν ἀκούουσι.

Θ'. Τῶν δὲ δὴ κλίσεων ϗ ἀποστροφῶν τουτωνὶ, περὶ ὧν §. η'. ὁ ἀποχρῶν ἅπας λόγος, ἐπὶ Θεὸν αὐτὸν ἀνάγεται ϗ τὴν ἀνθρώπου οὐσίαν. Ἀλλὰ γὰρ εἰσὶ ϗ κλίσεις ἄλλαι, ἢ ἀποστροφαὶ εἰδικώτεραι, αἵπερ ἐκ τοῦ διορισμοῦ τῶν γενικωτέρων ἐκείνων ἐπὶ τὰ ἐν μέρει τὸ εἶναι ἔχουσι, ϗ τούτων ἀποχρῶντες λό-

ΙΩΑΝΝΙΝΑ 2006

γοι εἰσὶν αἱ τῶν κατὰ μέρος ἀγαθῶν, ἢ κακῶν ἰδέαι, αἱ σὺν ἡδονῇ ἢ ἀνίᾳ τὴν φύσιν ἡμῶν διακάμπτουσαι. Ἐν δὲ δὴ ταύταις ἀνάγκῃ τινὶ ἡ ἐν ἡμῖν ἐλευθερία συγκαταμέμικται. Περὶ μὲν γὰρ τὰ αἴτια τῶν τοιούτων κλίσεων, ἤτοι περὶ τὰς τῶν κατὰ μέρος ἀγαθῶν, ἢ κακῶν ἰδέας, ἐλευθέρως ἔχομεν, τῇ παρὰ τοῦ λόγου βουλῇ καθυποβαλεῖν δυνάμενοι, καὶ σταθμήσασθαι ἀκριβέστερον, καί ποτε καὶ ἄλλα μεταστήσασθαι ἀντὶ τούτων, καὶ ἐξιχνεῦσαι, καὶ τῶν προτέρων ἀπαγαγεῖν τε καὶ ἀποσπάσασθαι τὴν ψυχήν. Ἀλλ᾽ ὡς ἂν ἅπαξ καταβληθεῖσαι στηριχθῶσιν αἱ τοῦ ἀγαθοῦ ἢ κακοῦ ἔννοιαι, διὰ δὲ τὴν συνάφειαν τοῦ λόγου καὶ τῆς ὀρέξεως ἀποτεχθῶσιν ἐξ ἐκείνων αἱ συγκινήσεις, ἐξ ἀνάγκης ὁ νοῦς εἰς αἵρεσιν ἢ φυγὴν ἀφαρπάζεται. Ὅπερ ἐν ἐκείνοις οἱ Σχολαστικοὶ ἐκφέρουσιν, ὅτι οὐ δύναται ἡ ψυχὴ τὸ ἀγαθὸν ᾗ ἀγαθόν ἐστιν ἀποτρέπεσθαι, οὐδὲ τὸ κακὸν ᾗ κακὸν θηρᾶσθαι.

Ι΄. Αἱ δὲ κατὰ μέρος αὗται κλίσεις καὶ ἀποστροφαὶ μᾶλλον ἢ ἧττον εἰσὶν ἐπιτεταμέναι, ἐν αἷς καὶ τὰ τῶν ἐπιτάσεων φυσικὰ αἴτια ἐπιμελῶς ὡς οἷόν τε ἀνακριτέον τοῖς ἐν τίνι κεῖται ἡ ἐλευθερία, καὶ ὅση αὐτῆς ἡ δύναμις παιδευθῆναι σπουδάζουσι.

ΙΑ΄. Καὶ δὴ φανερὸν τάς τε κατὰ γένος (§. η΄.), καὶ τὰς ἐν μέρει ῥοπάς, ἐπὶ τ᾽ ἀγαθὸν ἢ κακὸν ὡς ἐπὶ τέλος φέρεσθαι. Δεῖ δὲ διαστέλλειν τῶν ἀγαθῶν καὶ κακῶν τὰ ὄντα καὶ τὰ φαινόμενα. Καὶ ἀγαθὸν μὲν ἢ κακὸν φαινόμενον ἡ τῆς ἀγαθότητος ἢ κακίας πηλικότης, ἡ ἐν τῇ ἰδέᾳ τοῦ ἀγαθοῦ ἢ κακοῦ ἀναφαινομένη. Ὂν δὲ καὶ πραγματιῶδες τὴν αὐτοῖς ἐνοῦσαν λέγω τοῖς πράγμασιν, ὧν ὡς ἀγαθῶν ἢ κακῶν ἀντιλαμβανόμεθα. Εἰσὶ δὲ οὐκ ἀεὶ ἴσα ἀλλήλοις τά τε ὄντα καὶ τὰ φαινόμενα. Δόξειε γὰρ τὰ πραγματιώδη μείζονα ἢ ἐλάσσονα, δόξειε δ᾽ ἂν τὸ μὲν ἀγαθὸν κακόν, τὸ δὲ κακὸν ἀγαθόν. Οὐδὲν ἐν βίῳ ἀνθρώπων τούτου πυκνότερον γένοιτ᾽ ἄν, ὃ καὶ ἀρχὴ πάντως τῆς ἐν ἀνθρώποις ἀθλιότητος.

ΙΒ΄. Αἱ κατ᾽ εἶδος κλίσεις τε καὶ ἀποστροφαὶ τῆς ψυχῆς ἀπὸ τῶν ἀντιληπτῶν ἀγαθῶν ἢ κακῶν εἰσὶν ἠρτημέναι. Ἤρτηνται γὰρ ἀπὸ τῶν ἰδεῶν τῶν κατ᾽ εἶδος ἀγαθῶν ἢ κακῶν, τῶν τὰς κατὰ γένος κλίσεις ἡδονῇ τε καὶ ἀνίᾳ κινουσῶν τε καὶ διοριζουσῶν (§. θ΄.). Ταύτῃτοι καὶ τῶν τοιούτων κλίσεων καὶ ἀποστροφῶν ἡ ἐπίτασις ἀνάλογον ἐστὶ τοῖς ἀγαθοῖς ἢ κακοῖς, ᾗ ἀντιληπτὰ γίνεται. Οἷον εἰ ἡ τοῦ ἀντιληφθέντος ἀγαθοῦ πηλικότης ᾖ = 6, ἔσται καὶ ἡ πρὸς αὐτὸ κλίσις = 6. Καὶ ἐὰν ἡ πηλικότης τοῦ ἀντιληπτοῦ κακοῦ = 4, ἔσται καὶ ἡ ἀπο-

ϛροφὴ = 4. Καὶ ἐξηπάτηται ἄρα Καρτέσιος τὴν ἡδονὴν ἰσόμετρον τῇ οὔσῃ τελειότητι ἀποφηνάμενος (1).

IΓ'. Δυνατὸν οὖν καὶ τὸ ὂν ἀγαθὸν ἀποστροφὴν ἡμῖν ἐμποιεῖν, καὶ τὸ ὂν κακὸν εἰς θήραν διεγείρειν, ὅτε τὸ μὲν ᾖ φαῦλον, τὸ δὲ ὡς ἀγαθὸν παρίσταται (§. ια'.)· καὶ τῶν ἀγαθῶν τὸ μὲν μεῖζον ἐλάσσονα, τὸ δὲ ἔλαττον μείζονα κλίσιν ἀποτεκεῖν, ὃ μάλιστα συμβαίνει, τοῦ μὲν μείζονος ἀποτέρω, τοῦ δ' ἐλάσσονος ἐγγυτέρω ὄντος. Ὥσπερ γὰρ τῷ λόγῳ τῶν διαστημάτων μείζονα ἢ ἐλάσσονα φαίνεται ὄντα τὰ σώματα, οὕτω καὶ τὰ πρὸς ἔφεσιν ἢ ἀποτροπὴν ἡμᾶς διεξανιστῶντα αὔξει ἢ φθίνει κατὰ λόγον τυχὸν πλέον ἢ διπλασίονα ἀντιπεπονθότως τῶν ἀποστάσεων.

IΔ'. Ἀγαθὰ δύο ἀντιληπτὰ ἴσα μὲν, διαφέροντα δὲ, ἔχουσι μὲν ἀποτεκεῖν γενικήν τε καὶ ἀόριστον κλίσιν, εἰδικὴν δὲ οὐδαμῶς. Ἡ γὰρ κατὰ γένος ῥοπὴ τῇ ἀντιλήψει τοῦ ἀγαθοῦ ᾗ ἀγαθὸν ἀναφύεται. Ἐπεὶ δὲ τὰ Α καὶ Β, καίτοι διαφέροντα, τῷ λόγῳ τοῦ ἀγαθοῦ ταυτίζεται, ἀποτίκτει δὴ ῥοπὴν τὴν κατὰ γένος καὶ ἀόριστον, ἢ κρεῖττον εἰπεῖν ἔμφυτον ἐνοῦσαν, ὑπεκκαίει τε καὶ ὑποθήγει Ο. Η. τοῦ Α'. Αἱ γεμὴν κατ' εἶδος ῥοπαὶ διορισμοὶ ψυχῆς εἰσὶ περὶ τὰ κατ' εἶδος. Ἡ δὲ ψυχὴ ἐπὶ τὰ ἀντίθετα κατὰ τὸ αὐτὸ κάμπτειν οὐ πέφυκε, παρὰ δὲ τὸ ἴσον τῶν προκειμένων οὐδετέρωσε νεύει. Ἄρ' οὖν ἐν ᾧ ἴσα ἐστὶν ὡς ὑποτίθεται, ῥοπὴν εἰδικὴν, οὐδὲ ἐνέργειαν ἀποκύει. Εἴκαζε δὲ τὸ πρᾶγμα Ἀριστοτέλης ἀντοχῇ τριχὸς διόλου ἴσης, καθ' ἣν διασπᾶσθαι ἥκιστα πέφυκε.

IΕ'. Ἐὰν τὸ αὐτὸ Α διττῶς θεωροῖτο ᾗ μὲν ἀγαθὸν Δ, ᾗ δὲ φαῦλον Γ ἴσῃ ἐπιτάσει, οὐδεὶς ἔψεται κατ' εἶδος διορισμός. Ἔστω $Δ = 4$, $Γ = 4$, ἔσονται δὲ ἡ ῥοπὴ καὶ ἀποτροπὴ ἴσαι, καὶ ἑκατέρα $= 4 - 4$, ἤτοι $= 0$.

Iϛ'. Αἱ τῶν ἀντιληπτῶν ἀγαθῶν ἐπιτάσεις εἰσὶν ἐπιτάσεις αἱ τῶν ἰδεῶν τῶν ἀγαθῶν. Ἐπίτασις δὲ ἰδέας ἡ ἐνάργεια, καὶ εὐκρίνεια, καὶ πλήρωσις· ἡ δὲ ἀσάφεια, καὶ σύγχυσις, καὶ ἔλλειψις, ὕφεσις.

IΖ'. Τῶν ἰδεῶν ἐμφύτων οὐσῶν, ἔμφυτοι ἔσονται καὶ αἱ τῶν ἀγαθῶν ἢ φαύλων ἐπιτάσεις (§. ιϛ'.). Ἐπειδὴ δὲ τοῖς πλείοσι τὰ ὄντα φαῦλα ἀγαθὰ τυγχάνει ἀντιληπτὰ, τἠναντίον δὲ τὰ ἀγαθὰ φαῦλα, ἐὰν αἱ ἰδέαι ἔμφυτοι ὦσιν, ἤτοι ὑπὸ Θεοῦ ταῖς ψυχαῖς κοινωνούμεναι, ἐξαπατᾷν ἑπομένως

(1) Πρὸς τὴν ἀρχ. Ἐλισάβετ Παλατ. ἐπισ. ϛ'. μέρ. α'.



ΙΩΑΝΝΙΝΑ 2006

χαίρει τὸ θεῖον ἀνθρώπους, ὃ βλάσφημον. Τὸ δ' αὐτὸ ἕψεται καὶ εἰ κατὰ μέρος παρούσης τῆς χρείας παράγει Θεὸς τῶν ἰδεῶν ἑκάστην. Κἂν ἐν αὐτοῦ τῇ φύσει εἴποι τις ἐνοπτάνεσθαι τὰ νοητὰ, ἧπου ἰσχυρὸς ὁ λόγος κατὰ τῶν τριῶν ἐκείνων συστημάτων καὶ ἀκαθαίρετος.

ΙΗ'. Αἰτοῦμαι δὴ ἁπάσας τὰς ἐν ἡμῖν ἰδέας ἐξ αἰσθήσεως εἶναι, καὶ ἀπὸ μελέτης, καὶ ἐξ εἰκασίας. Ἡ γὰρ δόξα, καίτοι οὐ πάσης ἀπορίας ἀπήλλακται, ἀλλ' ἔστι τῶν λοιπῶν ἐγκριτέα, οἷα δὴ καὶ τῇ ἀνθρώπου φύσει προσήκουσα, καὶ τῇ ἀναπτύξει τῶν φαινομένων ὑπουργοῦσα, καὶ κοινῇ τοῖς ἐπισημοτάτοις τῶν φιλοσόφων ἀρέσκουσα.

ΙΘ'. Τῇ ἐπιτάσει τῶν ἔξωθεν ἡμῖν ἐπενεργούντων ποικιλλομένη, καὶ ἡ ἐπίτασις τῶν ἐν ἡμῖν ἐμποιουμένων προσβολῶν τε καὶ ἐντυπώσεων συμποικίλλεται. Καθ' αὑτὸ δῆλον τ' ἀξίωμα.

Κ'. Τοῦ ἐν ᾧ τις ἐμποιεῖται προσβολὴ ὑποκειμένου ἡ κατάστασις ὡς λίαν πρὸς ἐπίτασιν τῆς αὐτῆς προσβολῆς ἐστὶ φέρουσα. Τὸ γὰρ μεταληπτὸν, κατὰ φύσιν τοῦ δεκτικοῦ, μεταληπτὸν γίνεσθαι καὶ παρὰ τοῖς ἀρχαίοις ἠξίωται. Οἷον εἰ δυνάμει = 2 ὠθείης τὸ οὗπερ ἡ ἔνστασις = 3, καὶ ἕτερον οὗπερ ἔνστασις = 1, ἡ τῆς ἐπὶ τούτων ἐνεργείας ἐπίτασις οὐκ ἔσται ἴση. Καὶ σταθμητέον ἄρα τῶν ἐν ἀνθρώποις προσβολῶν τὸν τόνον οὐκ ἀπὸ τοῦ μεγέθους μόνου τοῦ ἐμποιοῦντος, ἀλλ' οὐχ ἧττον καὶ ἐκ τῆς φύσεως τοῦ δεκτικοῦ. Ἀλλαμὴν ἡ ἀνθρώπων κρᾶσις οὐ πάντων, οὐδὲ παντὸς ἀεὶ ὡσαύτως τυγχάνει ἔχουσα. Φανερὸν ἄρα τίποτε αἱ παρὰ τῶν αὐτῶν πραγμάτων παρεμποιούμεναι διαθέσεις οὐδ' ἐπὶ πάντων, οὐδὲ γοῦν ἐπὶ παντὸς ἀεὶ ὡσαύτως ἰσχύουσι.

ΚΑ'. Κατάστημα, ἢ γοῦν κατάστασιν ψυχῆς ἀποκαλῶ τὴν παρὰ τῶν ἐν αὐτῇ ἕξεων θεωρητικῶν τε καὶ πρακτικῶν, καὶ ἐκ τῶν παθημάτων, καὶ ἐκ τῶν παρουσῶν ἰδεῶν συνισταμένην. Οἷον ἔστω ψυχὴ Α, ἣ γεωμετρίας μέτεστι, καὶ λογικῆς, καὶ μεταφυσικῆς, καὶ φυσιολογίας, καὶ θεολογίας, κτ. ἔστω δὲ καὶ ἄλλη Β, ᾗ τούτων ἢ μὴ πασῶν μέτεστιν, ἢ μὴ ἐπίσης, ἢ ἄλλων ἕξεων παρὰ ταύτας, ἢ μηδεμιᾶς, διοίσει οὖν ἡ ταύτης κατάστασις τῆς ἐκείνης. Παραπλησίως δὲ ἔστω ψυχὴ Γ τῷ καλῷ κόσμῳ τῆς ἀγάπης, καὶ φιλανθρωπίας, καὶ δικαιοσύνης, καὶ ἀνδρίας, καὶ τῶν ἄλλων ἠθικῶν ἕξεων διαπρέπουσα· ἔστω δὲ καὶ ψυχὴ Δ ἡ τούτων ἁπασῶν, ἢ τινῶν, ἢ μὴ ἐξίσου εὐμοιροῦσα, ἢ γοῦν καὶ ταῖς ἀντιθέτοις ἕξεσι θηριωδίας, ἀκρασίας, ὀργῆς, ἀσελγίας, κτ. περιστοιχουμένη, φανερὸν ὅτι μακρῷ διαφέρον τὸ κατάστημα ταύτης ἢ ἐκεί-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ ΙΩΑΝΝΙΝΑ 2006

νης. Ἀλλὰ ϗ εἰ κατὰ τὸν αὐτὸν χρόνον Χ ψυχαὶ δύο Γ ϗ Δ, καίτοι ἔξεσι ταῖς αὐταῖς καλλυνόμεναι, οὐχὶ τὰ αὐτὰ κατὰ νοῦν ἀνελίττουσι, διοίσουσιν ὁμοίως ἃς ἔχουσι καταστάσεις τὸ τηνικαῦτα. Ἡ δὲ τοιαύτη ποικιλία τῶν καταστάσεων ϗ ἐπὶ ἄλλων, ϗ ἐπὶ τοῦ αὐτοῦ ἐν διαφόροις χρόνοις, κἂν ἐκ τῶν τυχόντων, ἀπείρους ἄν, ὡς δῆλον ἐστὶ, τὰς διαφορὰς ἐπιδέξαιτο, αἷς τισι ϗ προσεκτέον τὰ διοριστικὰ τῶν ἀνθρώπων θελήσεων ἀναζητοῦσι ϗ ἐξετάζουσι.

ΚΒ΄. Κατὰ διαφορὰν τῶν ἐν τῇ ψυχῇ καταστάσεων ϗ τὰς παρεμποιουμένας ὑπὸ τῶν ἐκτὸς ἐν ἡμῖν ἐντυπώσεις πολὺ διαφέρειν ἑπόμενον ἐστὶν ἐκ τῶν ἀνωτέρω. Οἷον ὕβρις προστριβεῖσα ἄλλως μὲν τὸν ὀξύτητι φύσεως διαφέροντα, ἢ τὸν εὐήθη ϗ βλάκα διέθετο, ϗ τὸν γενναῖον, ϗ σώφρονα, ϗ ἀνεκτικὸν ἑτέρως, ἢ τὸν ἀκρατῆ, ϗ τεθρυμμένον, ϗ ὀργίλον· καί τινος τῶν ἀήθων φαινομένων ἐπισυμβάντος, διαταραχθήσεται μὲν ὁ χύδην ὄχλος, οὐκ ἐκστήσεται δὲ ἴσῃ ἐκπλήξει καταχεθεὶς ϗ νοῦς ὁ τῇ φιλοσοφίᾳ ἀνατεθραμμένος· καί τις εὐσεβεῖς ὑποθήκας ὑποτιθέμενος, οὐχ ὡσαύτως διαθήσεται γύναιον ἢ ἰδιώτην ἀκροωμένους, ϗ τῶν ἐκ τοῦ κόσμου τινὰ, ἢ ἀσεβοῦντα· ἀνδρός τε περικλεοῦς ἐπιφημιζομένου, ἄλλοι ἄλλαις δικάζουσιν ὑπολήψεσι κατὰ τὰς διαφορὰς ἐπαγγέλματος, αἱρέσεως, παθῶν, ἡλικίας, ϗ τῶν παραπλησίων.

ΚΓ΄. Ἐξ ὧν ἕπεται τὴν ἐπίτασιν τῶν ἐγγινομένων ἡμῖν ἐντυπώσεων ἀπὸ τριῶν μάλιστα αἰτίων ἠρτῆσθαι. Α΄. ἀπὸ τῆς ἐπιτάσεως τῆς ἔξωθεν ἐπισυμβαινούσης ἡμῖν ἐνεργείας. Β΄. ἀπὸ τῆς τοῦ σώματος κράσεως. Γ΄. ἀπὸ τοῦ τῆς ψυχῆς καταστήματος. Ὡς εἴγε ταῦτα πάντα, ϗ τούτων ἡ σύμπνοια ἢ διαφορὰ ἀκριβῶς εἶχε καταμετρεῖσθαι, ἐξῆν ἂν ϗ τὰς τῶν ἡμῖν ἐμποιουμένων προσβολῶν καὶ κινήσεων ἐπιτάσεις τε ϗ ἀνέσεις ἀκριβέσι λογισμοῖς ὑπάγοντας διαταλαντεύειν, ϗ τοὺς τῆς ψυχῆς διορισμοὺς, ϗ τὰς ἐπαγομένας ψήφους καὶ πόῤῥωθεν διορᾷν τε ϗ προγινώσκειν. Ἀλλ' οἶδε Θεός.

ΚΔ΄. Προκειμένου δὲ περὶ τῶν τοιούτων λόγου, σταθμητέον οὐχ ὅπως τὰ προάγοντα ϗ ἐπείγοντα παραίτια, ἀλλὰ ϗ τὰ διακόπτοντα ϗ ἐπιβραδύνοντα, ϗ ἀλλήλοις ταῦτα παραθετέον. Οἷον ἦγε μὲν τὸν Καίσαρα ἐπιχειρῆσαι τοῖς πράγμασι τῆς συγκλήτου Α΄. ἡ θήρα τοῦ προκειμένου ἀγαθοῦ. Β΄. ἡ κρᾶσις τοῦ σώματος, ἧς ἔλαχε. Γ΄. ἡ ἐν τῇ ψυχῇ δοξοκοπία τε ϗ τυφομανία, ϗ ἡ πρὸς τὸν ἀντιπολιτευόμενον Πομπήϊον βασκανία τε ϗ ἀπέχθεια. Δ΄. τὰ ἔξωθεν ἐπιόντα αὐτῷ βοηθήματα τὰ τὰς μεγάλας ψυχὰς παραθήγοντα, κτ. Ἀπῆγε δὲ Α΄. ἡ ἀγάπη τῆς ἐλευθερίας τῆς πατρίδος, εἴτις ἦν. Β΄. αἱ

ἔννοιαι τοῦ καθήκοντος καὶ τοῦ δικαίου. Γ'. ἡ δυσχέρεια τοῦ τολμηθησομένου. Δ'. αἱ δυνάμεις αἱ τούτῳ προσιστάμεναι ἐκ τοῦ ἐναντίου. Ε'. ὁ περιὼν κίνδυνος τοῦ ἀποτυχεῖν καὶ σφαλῆναι, κτ. Ὧν ἁπάντων ἀλλήλοις παρατεθέντων, ἐπικρατέστερα δόξαντα τὰ πρῶτα, ἐπιχειρῆσαι τοῖς πράγμασι τὸν Καίσαρα ἐποίησεν. Ἔστιν οὖν καὶ ἐπὶ πλείστων ἄλλων ἐπιθεωρεῖν τὰ παραπλήσια.

ΚΕ'. Ἡ τοῦ ἀγαθοῦ ἢ φαύλου ἀντιληπτῶν ἐπίτασις ἐστὶ κατὰ λόγον τῆς ἐπιτάσεως τῶν ἐντυπώσεων. Τὸ γὰρ ἀντιληπτὸν ἀγαθὸν ἢ φαῦλον αὗται εἰσὶν αἱ τοῦ ἀγαθοῦ ἢ κακοῦ ἰδέαι (§. ιϛ'.). Τεθείσθωσαν οὖν αἱ ἰδέαι αὗται ἐπείσακτοι (§. ιη'.). Ἔσονται ἄρα ἐντυπώσεις τινὲς ἀπὸ τῶν ἐκτὸς ἡμῖν ἐγγινόμεναι, καὶ τούτων ἄρα ἠρτημέναι. Τοιγαροῦν κατὰ τὰς ἐπιτάσεις τῶν ἐντυπώσεων ἔσονται αἱ ἰδέαι, ἤτοι τὰ ἀγαθὰ, ἢ κακὰ τὰ ἀντιληπτὰ ἀνάλογον. Ἐὰν οὖν ὑποτεθῶσιν αἱ ἰδέαι πεποιημέναι, ἐν λόγῳ πάντως τοῦ καταστήματος τῆς ψυχῆς, καὶ τῆς τοῦ σώματος κράσεως ναὶ μὴν, καὶ τῆς παρὰ τῶν ἐκτὸς ἐνεργείας ἔσονται. Ἐπειδὴ οὖν ἡ τῶν ἐντυπώσεων ἐπίτασις ἐστὶν ἐν λόγῳ συνθέτῳ τούτων ἁπάντων (§. κγ'.), καὶ ἡ τῶν ἰδεῶν ὁμοίως τῶν πεποιημένων ἐπίτασις ἔσται κατὰ λόγον τῶν ἐντυπώσεων.

ΚϚ'. Αἱ κλίσεις τε καὶ ἀποστροφαὶ αἱ κατ' εἶδος ἀπὸ τῶν ἐντυπώσεων εἰσὶν ἠρτημέναι καὶ ταύταις εἰσὶν ἀνάλογον. Ἀμέλειτοι γὰρ ἀπὸ τῶν ἀγαθῶν ἢ φαύλων τῶν ἀντιληπτῶν ἤρτηνται (§. ιβ')· ταῦτα δὲ ἀπὸ τῶν ἐντυπώσεων (§. κε'). Ἐντεῦθεν ἄρα καὶ αἱ κλίσεις καὶ ἀποστροφαί. Καὶ εἰσὶν ἄρα κατὰ λόγον τῶν ἀγαθῶν ἢ κακῶν τῶν ἀντιληπτῶν (αὐτ.)· ταῦτα δὲ κατὰ λόγον τῶν ἐντυπώσεων.

ΚΖ'. Αἱ θελήσεις ἤρτηνται ἀπὸ τῆς ἐλευθερίας τῆς διοριζομένης ὑπὸ τοῦ λόγου διὰ τῶν ἐντυπώσεων, ἤτοι διὰ τῆς ὀρέξεως, ἥ φασιν οἱ Σχολαστικοί. Αἱ γὰρ θελήσεις ἔσχατοι νοῦ διορισμοὶ εἰσὶ πρὸς τὰ ἀντιληπτὰ ἀγαθὰ, ἢ ἀπὸ αὐτῶν τούτων. Οἱ δὲ διορισμοὶ οὗτοι ἠρτημένοι εἰσὶν ἀπὸ τῶν κλίσεων ἢ ἀποστροφῶν· αὗται δὲ ἀπὸ τοῦ λόγου τῶν ἀγαθῶν ἢ φαύλων τῶν ἀντιληπτῶν τοῦ κάμπτοντος τὴν ἐλευθερίαν (ἅπαντα ἐκ τῶν προαποδειχθ.). Ἐντεῦθεν ἄρα καὶ αἱ θελήσεις.

ΚΗ'. Κατὰ τῶν ἐπενηνεγμένων δὴ τούτων οὕτως ἐπιχειρεῖ Ἀντώνιος ὁ Κολλῖνος (1), αἱ θελήσεις, φησὶν, ἠρτημέναι εἰσὶν ἀπὸ τῶν κλίσεων ἢ ἀποστροφῶν,

(1) Ἔρευνα περὶ ἐλευθερίας ἐν τοῖς ἀθροίσμ. Λείβνιτ. Νεύτ. κτ.

ΙΩΑΝΝΙΝΑ 2006

αἱ δὲ ἀπὸ τῶν ἐντυπώσεων, ϗ εἰσὶν ὡς ἐκεῖναι· αἱ δὲ ἐντυπώσεις ἀπὸ τῶν ἐνεργειῶν τῶν ἐκτὸς ἀντικειμένων, ϗ τῆς τοῦ σώματος κράσεως, ϗ τοῦ κατασήματος τῆς ψυχῆς. Ἀναγκαῖαι ἄρα εἰσὶν αἱ ἐντυπώσεις, ϗ δὴ ϗ αἱ κλίσεις ϗ ἀποστροφαὶ, κἀντεῦθεν ϗ αἱ θελήσεις. Ἀλλ' ἀπαντῶμεν τὴν πλοκὴν διαῤῥηγνῦντες τοῦ σοφίσματος, ϗ φαμὲν ὡς ἤρτηνται μὲν αἱ θελήσεις τῶν τε κλίσεων ϗ τῶν ἐντυπώσεων, οὕτω γεμὴν ὥστε ἀπὸ τοῦ λόγου ἠρτῆσθαι, ὃς οὐκ ἄλλως τὴν ἐλευθερίαν κάμπτει, ἢ ταῖς κατὰ φύσιν κλίσεσί τε ϗ ἀποκλίσεσιν. Οὕτως οὖν ἤρτηνται, ὡς τὰ κάμπτοντα τὴν ἐλευθερίαν ἀεὶ εἶναι τοὺς λόγους τοῦ ἀγαθοῦ ἢ κακοῦ, ἐξ οὗ ϗ ἀκεραία ϗ ἀλώβητος περισώζεται ἡ ἐλευθερία (ὅρ. ιβ'. σχόλ).

ΚΘ'. Ἵνα δὲ τέλεον περιτραπείη τὸ σόφισμα ἐπιστητέον, ὡς ἐπειδὴ εἰς μακαριότητα παρήχθη ψυχὴ, ὑφαρπάζεται ἀναγκαίως ἐκ τῆς πρὸς ἐκείνην ἀγάπης, ὑπὸ δὲ μόνου τοῦ ἀκροτάτου ϗ ἀπείρου ἀγαθοῦ ἀναγκαίως διορίζεται, ὑφ' οὗ ἂν ϗ κορεσθείη διψῶσα τὸν τῆς μακαριότητος ἔρωτα. Τὰ δὲ ἄλλα τῶν ἀντιληπτῶν γινομένων ἀγαθῶν, πεπερασμένα τε ὄντα, μηδὲ συναρπάζειν ἀναγκαίως πρὸς ἑαυτὰ τὴν ψυχὴν πεφυκότα καὶ διορίζειν, δύναμιν τοῦ περὶ αὐτὰ βουλεύεσθαι, εἰ αἱρετέα ἐστὶν, ἀφίησιν αὐτῇ. Ἐν ταύτῃ δὲ τῇ βουλευτικῇ δυνάμει τῇ περὶ τὰ πεπερασμένα τῶν ἀγαθῶν τῇ ἀρχέσῃ ἐν ἀνθρώπῳ ἡ κατὰ ἀδιαφορίαν πᾶσα ἐλευθερία κεῖται, ἣ πάνυ καλῶς τῷ Αὐγουστίνῳ ἔφθη σημειωθῆναι. Ἐξ οὗ δῆλον ϗ τοῦ χάριν τῇ πρὸς θεὸν ἀγάπῃ οὐκ εἰσὶ κατὰ ἀδιαφορίαν ἐλεύθεροι ἄνθρωποι. Τοιοῦτον γὰρ ἐκεῖνο τὸ ἀγαθὸν, οὗ περὶ τὴν αἵρεσιν οὐδὲ βουλεύσασθαι ὅλως ἔχουσι μὴ τὴν ἑαυτῶν παραβιασάμενοι φύσιν, οὐδὲ μένειν ϗ ἀναβάλλεσθαι μὴ ἀπὸ δρυὸς, ἤ φασιν, ὄντες, ἢ ἀπὸ πέτρης.

Λ'. Ἐξ ὧν ϗ τοῦτο κατανοεῖται, ὅτι πηγὴ τῆς ἀπὸ ἀναγκασμοῦ ἐλευθερίας ἐστὶ τὸ τὰ ἄμεσα κινητικὰ τὰ ἡμᾶς διορίζοντα εἶναι τοὺς λόγους τοῦ ἀγαθοῦ ἢ φαύλου διὰ τῆς ἐπιθυμίας ἢ τοῦ ἀποτροπιασμοῦ· τὴν δὲ πηγὴν τῆς κατὰ ἀδιαφορίαν ἐλευθερίας τὴν ἀτελειότητα τῶν ἀντιληπτῶν ἀγαθῶν ἢ φαύλων, περὶ ἃ τὸ βουλεύεσθαι εἰ αἱρετέα, ἢ μὴ, πάνυ λυσιτελές ἐστι καὶ σωτήριον.

ΛΑ'. Ἐξ οὗ ϗ τοῦτο ἐστὶν ἑπόμενον, ὡς ὅσα δήποτε τὸν ἐν ἡμῖν λόγον τελειοῦν πέφυκε, ταῦτα ϗ μᾶλλον ἐλευθέρους ἀναγκασμοῦ ἀναδείκνυσι, ϗ ἧττον ἀναβαλλομένους τε ϗ ἀδιαφόρως ἔχοντας. Ὅσῳ ϗ γὰρ μᾶλλον τὸ κράτος τοῦ λόγου προάγεται, τοσούτῳ πλείονα λόγῳ κινούμενοι ἀποτελοῦμεν, ἢ τῇ ἐκ

ΙΩΑΝΝΙΝΑ 2006

φύσεως ὁρμῇ ϗ τοῖς παθήμασιν, ὀξυτέρου τε τοῦ λόγου εὐμοιρήσαντες, ἧττον βραδυτελεῖς τε ϗ σὺν ἀδιαφορίᾳ πρὸς τὰ πρακτέα διακεισόμεθα. Τοιγαροῦν φιλοσοφίᾳ, ϗ νομοθεσίαις, ϗ χάριτι συνάμα τῷ λόγῳ ϗ τὸ ἐλεύθερον εἰς τελειότητα ἄυξει ϗ ἐπίδοσιν, ὅπερ ἀκριβῶς πάνυ τῷ ἱερῷ Αὐγουστίνῳ ἐν τοῖς περὶ αὐτεξουσίου βιβλίοις διείληπται.

ΛΒʹ. Σεσημείωται ἐν τῷ σχολ. τῆς ΜΓʹ., ὅτι οἱ κατὰ τῆς ἐλευθερίας ἐπαγόμενοι λόγοι ἓν τοῦτο δεικνύουσι προσεῖναι τῇ ἐλευθερίᾳ ϗ τὰ κινητικὰ ϗ διοριστικὰ γινόμενα ὡς συναίτια, ἅπερ οὐδὲ λυμαίνεται ὅλως τὴν αἰτίαν μὴ ἀνατρέποντα. Ἐνταῦθα δὲ πάρεργον ἂν εἴη ϗ τὰ ἔξωθεν τῇ ἐλευθερίᾳ ἀντιβαίνειν δοκοῦντα ἀποτρίψαι πειράσασθαι. Ἔστι δὲ εἰς τρία μάλιστα ἀναφερόμενα, ἐπί τε τὴν Θεοῦ πρόνοιαν ϗ προδιορισμὸν, ϗ ἐπὶ τὴν αὐτοῦ τοῦ Θεοῦ πρόγνωσιν, καὶ τρίτον ἐπὶ τὰς ἀστέρων ἐπιῤῥοάς. Ἐκεῖνο γὰρ, ὅ τινες προστιθέασι, τῷ τοῦ Γενάρχου παραπτώματι ἐκπεσεῖν ἧς εἰλήφει ἐλευθερίας τὸν ἄνθρωπον, ἀπὸ τῶν τῆς ἱερᾶς θεολογίας λαμβανόμενον, λαμπρῶς τῇ τῶν θείων γραφῶν μαρτυρίᾳ ἐλέγχεται. Αὗται γὰρ οὐ μόνον ἅπαντας αἱ θεόσδοτοι βίβλοι ἐν ἀνομίαις συλλαμβάνεσθαι ἐκδιδάσκουσιν, ἀλλὰ ϗ πᾶσιν οὐχ ἧττον βουλὴν προσεῖναι ϗ λόγον, ᾧ τοῦ αὐτεξουσίου εὐμοιροῦσι φρονήματος. Καὶ ἔστιν ἄρα ἱστοῦ ἀράχνης σαθρότερον τὸ Καλβίνου κακόπλοκον τουτὶ ὕφασμα, ᾧ μάλιστα πάντων ἐκεῖνος δυσσεβῶν πέποιθε.

ΛΓʹ. Ἔστιν οὖν τὸ Αʹ. ἔχον ὡδί. Αἴτια ἐλεύθερα ἂν εἴη τὰ ἐπὶ τῶν οἰκείων ἐνεργημάτων αὐτοδιόριστα, οὔκουν δὲ τὰ ὑφ' ἑτέρων διοριζόμενα ϗ μὴ ὑφ' ἑαυτῶν. Πάντα δὲ τὰ κτιστὰ αἴτια αὐτὰ μὲν ἑαυτὰ διορίζειν οὐκ ἔχει, ὑπὸ δὲ Θεοῦ διορίζεται. Αʹ. Ὥσπερ γὰρ οὐδέν ἐστι σῶμα τὸ παρ' ἑαυτοῦ ἐξ ἠρεμίας εἰς κίνησιν μεθιστάμενον, οὕτως οὐδὲν τῶν κτιστῶν ϗ πεπερασμένων τὸ ἀπὸ τῆς ἀργείας ἐπὶ τὴν ἐνέργειαν μεταβαῖνον. Οὐδὲ γὰρ ἐκ τοῦ μηδενός τι γένοιτ' ἂν, οὐδ' ἂν παράσχῃ τι, ὅπερ ἥκιστα περιενήνοχε. Βʹ. Καὶ φανερὸν δὲ ἅπασι τοῖς ὀρθῶς περὶ Θεοῦ φρονοῦσιν, ὅτι ὑπ' ἐκείνου ἅπαντα διασώζεται, τό, τε ἀρχαῖον ἀξίωμα τὴν συνοχὴν συνεχῆ τινα παραγωγὴν εἶναι βούλεται τοῦ συνεχομένου. Τὰ δὲ κτίσματα οὐδὲν μᾶλλον ἐξισχύει ἑαυτὰ πρὸς ἐνέργειαν διορίσαι, ἢ ἑαυτὰ συνέχειν ϗ διασώζειν.

ΛΔʹ. Τὸ προβληθὲν ἀλλ' οὖν ἐπιχείρημα, τοὺς τὸν φυσικὸν προδιορισμὸν εἰσάγοντας, ϗ τοὺς ἀμφὶ Μαλεβράγχιον δεινῶς πιέζει, τοὺς ἅπαντα πρὸς Θεὸν ἀμέσως ἀνάγοντας, ϗ οἱασοῦν δραστηρίου δυνάμεως τὴν φύσιν

ΣΥΓΓ. Κ. τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

ἀπογυμνοῦντας, καὶ δὴ καὶ τὸν τὰ περὶ ἐνεργειῶν τοῦ Θεοῦ ἐπὶ τῶν δημιουργημάτων συγγραψάμενον. Οἱ γὰρ οὗτοι ἀπαντῶσι πρὸς τοὐπιχείρημα, ἐκείνων τεθεισῶν τῶν ἀρχῶν ἐλευθέρους ἡμᾶς εἶναι ἐν νοήματι διηρημένῳ, καίτοι μὴ ἐν νοήματι συνθέτῳ, τοῦτο τοὺς ἀπαιδεύτους ἐστὶ πειρᾶσθαι λαθεῖν ὑπούλως, ὃ τῷ Βεκανῷ παρατετήρηται. Εἰ γὰρ ὁ ἐν διαιρέσει νοῦς σημαίνει μὴ ἐνεργοῦντας ἔχειν ἡμᾶς τὸ ἐλεύθερον, ὁ δὲ ἐν συνθέσει τὸ διοριζομένους μηκέτι ἔχειν, πότερον τῇ ἐλευθερίᾳ ταῦτα βοηθεῖ ἢ πολεμεῖ; Οὐκ οἶδα. Ἓν οἶδα τοῦτο, ὡς ἡ κατὰ δύναμιν ἐλευθερία κατ' ἐνέργειαν δὲ ἀνάγκη οὖσα, ψευδής ἐστιν ἐλευθερία καὶ ἀνθρώπῳ ἀνόνητος. Ἀλλ' ἴωμεν δὴ ἐπὶ τὴν ἀπάντησιν τοῦ ἐπιχειρήματος. Ὁ τοίνυν Θεὸς ἀπειροδύναμός τε ὢν ἅμα καὶ ἀπειρόσοφος, τοιαῦτα ἔχατε καὶ ᾔδει παραγαγεῖν τὰ ὄντα, ἃ καὶ καθ' ἑαυτὰ τῶν ἐξ ἑαυτῶν ἐνεργημάτων εἴη παραίτια, τὴν αὐτοῖς προσήκουσαν δραστικότητα κεκτημένα, καὶ ταύτῃ ἐν δέοντι χρώμενα. Ἔδει δὲ καὶ αὐτὰ ταῦτα συντηρεῖν, οἷα δὴ πεπερασμένα, καὶ εἰς τὸ μὴ εἶναι καθ' αὑτὰ κλίνοντα, καὶ διὰ τοῦτο τῆς παρ' αὐτοῦ συνοχῆς καὶ διατηρήσεως χρήζοντα. Ἡ δὲ ἐνέργεια τυγχάνει καθόλου τε καὶ ἐν γένει τοῦ παντουργοῦ, ἡ τὰς τῶν δευτέρων αἰτίων δυνάμεις συντηροῦσα καὶ διασώζουσα, διηνεκής τε καὶ ἀδιάλειπτος. Τῇ δὲ ἐνεργείᾳ ταύτῃ τὰς τῶν πραγμάτων φύσεις σώζεσθαι μὲν, οὐκ ἀναιρεῖσθαι δὲ τὸ Θεῖον βούλεται, διὸ καὶ ταῖς τῶν ὄντων φύσεσι προσφυᾶ παρέχεται καὶ προσήκουσαν. Αἱ μὲν οὖν δυνάμεις τῶν δευτέρων αἰτίων τῷ εἴδει διενηνοχυῖαι, αἱ μὲν ἄλογοι εἰσὶν, οἷαι ἡ ἐφελκύσεως, ἡ βαρύνσεως, ἡ πλαστική, καὶ αἱ παραπλήσιαι, αἱ δὲ λογικαί. Καὶ αἱ μὲν τοῖς μηχανικοῖς νόμοις διεξαγόμεναι ἄμοιροι εἰσὶν ἐλευθερίας, αἱ δὲ ὑπὸ λόγου ἀγόμεναι καὶ κινητικὸν ἔχουσαι τὴν ἀντίληψιν, διασώζουσι τὸ ἐλεύθερον· κἀκείνας μὲν ἡ Θεοῦ ἐνέργεια συναρπάζει, τὰς δὲ ὁδηγεῖ. Καὶ μένει ἄρα ἐπὶ τῶν ψυχῶν οὕτω μετὰ τῆς θείας ἐνεργείας ἡ φύσει ταύταις προσοῦσα ἐλευθερία. Μᾶλλον δὲ ἐπεὶ τὸ ἐλεύθερον οὐσιωδῶς τῷ λόγῳ ἐστὶν ἱδρυόμενον, τὰ δὲ τὸν λόγον ἐπανορθούμενα καὶ τελειοῦντα, καὶ τὴν ἐλευθερίαν αὐτὴν πέφυκε τελειοῦν (§. λα'.), ἥτε τοῦ Θεοῦ ἐνέργεια τελειωτικὴ ψυχῶν γίγνεται, ἐκ τούτων ἕπεται καὶ τὴν ἐν ἀνθρώποις ἐλευθερίαν ὑπὸ τῆς πανσόφου προνοίας μᾶλλον τελειοῦσθαι, ἢ ἀποσβέννυσθαι καὶ συμπνίγεσθαι. Ταῦτα δήπου ἐπ' ἀκριβὲς τῷ θεσπεσίῳ Αὐγουστίνῳ προδιείληπτο, ἐξ ὧν καὶ τὸ Σπινόζου οἰκοδόμημα ἐκ βάθρων αὐτῶν ἀνασκάπτεται.

ΛΕ'. Τὸ δὲ δεύτερον τῶν ἐπιχειρημάτων οὕτω προσίσταται. „Εἰ πάντα,

ΙΩΑΝΝΙΝΑ 2006

„φασὶ, τὰ ἐσόμενα προγινώσκεται τῷ Θεῷ, οὕτω δῆθεν ϗ ἐκβήσεται ὡς ϗ „προέγνωσται. Ἡ δὲ δὴ τάξις τῆς Θεοῦ προγνώσεως ἀσφαλὴς ϗ βεβαία, τοιγαροῦν ϗ ἡ τάξις ἡ τῶν αἰτίων. Ἡ δὲ ἀσφαλῶς ἔχει ἡ τῶν αἰτίων τάξις ϗ πέπηγεν, εἵμαρται ἄρα τὰ πάντα, καὶ τὸ ἐλεύθερον ἐκποδὼν γίνεται (1).

ΛϚ'. Οὕτω δύσλυτον ἔδοξε Κικέρωνι τοὐπιχείρημα, ὡς ϗ ἀπαρνηθῆναι ἐκεῖνον διὰ τοῦτο τοῦ Θεοῦ τὴν τῶν ἐσομένων πρόγνωσιν ἑλέσθαι, ἢ τῆς ψυχῆς τὸ ἐλεύθερον (2). Φέρεται δὲ ϗ Ἀρμαχανόντινα ἐν τοῖς Σχολαστικοῖς ἄνδρα περικλεῆ εἰς εἰκοσαετείαν πεπονηκέναι, ἐφ' ᾧ λύσῃ τὸν δεσμὸν, μηδὲ δυνηθῆναι. Ὁ δὲ Γαϊετάνος, ἀνὴρ ἐν τοῖς Μεταφυσικοῖς λίαν τετριμμένος, ἐπὶ τὸν μετὰ τοῦτον αἰῶνα ὑπερέθετο τὸ ζητούμενον. Ὅ,τε Αὐγουστῖνος ἐπιτετμημένως μὲν, πάνυ δὲ ἀκριβῶς ϗ ὀξέως ἀπήντηκεν, „οὐχ ἕπεται φήσας, ὅτι βεβαία „παρὰ τῷ Θεῷ ἡ τάξις τῶν αἰτίων, μηδὲν εἶναι ἐφ' ἡμῖν κείμενον. Καὶ γὰρ ϗ „αὐταὶ δὴ αἱ θελήσεις ἡμῶν ἐν τῇ τάξει τῶν αἰτίων εἰσίν." Ἃ δὴ εἰς τοῦτο τείνει, τὴν Θεοῦ πρόγνωσιν ἥκιστα τρέπειν τὰς τῶν ὄντων φύσεις, ἀλλὰ τὰς μὲν ἀναγκαίας παρεᾶν ἀναγκαίας, τὰς δ' ἐλευθέρας ἐλευθέρας. Ἡ γὰρ τοῦ Θεοῦ πρόγνωσις, ἣ τῆς αὐτοῦ θελήσεως ϗ προνοίας ἀφῃρημένως θεωρουμένη, τοῖς οὖσι φύσει οὐδὲν ἐπιρρεῖ, καθάπερ ϗ ὁ ὁρῶν με ποιοῦντά τι εἰς τὸ ποιεῖν οὐ κινεῖ. „Καὶ ὥσπερ, φησὶν ἐκεῖνος ἀλλαχοῦ, ἡ σὴ μνήμη οὐκ ἀναγκάζει γενέσθαι „τὰ παρελθόντα, οὕτως ὁ Θεὸς τῇ ἑαυτοῦ προγνώσει οὐκ ἀναγκάζει γενή„σεσθαι τὰ ἐσόμενα (3)." Ἀμέλειτοι γὰρ οὐδὲν κωλύει τοῦ ἀσφαλὲς εἶναι ϗ βέβαιον τὸ ἐλεύθερον ὂν, ἢν μὴ ἐξ ἐκείνου, ᾧ τινι ἀσφαλὲς τυγχάνει ϗ βέβαιον, οὐδεμία τῷ ἐνεργοῦντι ἐπιφέρεται ἀνάγκη ϗ βία. Ταῦτα μὲν οὖν οὕτω σαφῆ ἐστὶν, ὥστε με ϗ θαυμάζειν εἰκότως ἄνδρας σοφοὺς γεγονέναι τοὺς τὸ σόφισμα κατιδεῖν μὴ δυνηθέντας ϗ ἀπελέγξαι.

ΛΖ'. τὸ δὲ τρίτον ἐπιχείρημα ὧδε κατασκευάζεται. Ἡ τοῦ ἡμετέρου, φασὶ, σώματος σύστασίς τε, ϗ κρᾶσις, ϗ ἀλλοίωσις, ἀπὸ τῆς τοῦ ἀέρος ἤρτηται συστάσεως, ϗ βαρύνσεως, ϗ μεταβολῆς, ὡς δῆλον· διὸ ϗ αἱ τῶν ἐθνῶν κατὰ κλίματα γῆς οἰκουμένης διαφοραὶ κατὰ κράσεις, καὶ ἤθη, καὶ πάθη. Ἐπεὶ δὲ καὶ ἀστέρες τῷ παρ' ἑαυτῶν φωτὶ, ἢ κινήσει, ἢ ἐπιχύσει τινὸς πάνυ λεπτοῦ ὑγροῦ, ἢ ἀμοιβαίᾳ βαρύνσει, ἢ καὶ ἄλλῃ ὁποιαδηποτοῦν ἐνεργείᾳ ἀέρος φύσιν

(1) Αὐγ. περὶ Θεοῦ πόλ. Κεφ. Θ. Βιβλ. Ε'., καὶ Κικέρ. περὶ Εἱμαρμ.

(2) Βιβλ. Β'. περὶ Μαντ.

(3) Βιβλ. Β'. περὶ αὐτεξ. Κεφ. Δ.

Ε.Υ.Δ της Κ.Β.Ι ΙΩΑΝΝΙΝΑ 2006

ἀλλοιοῦν πεφύκασι, ϗ δυνάμει μεγάλῃ ἐπ' αὐτῷ ἐνεργεῖν, πάντως ϗ ἐφ' ἡμᾶς αὐτοὺς ἐπιῤῥέουσί τε ϗ ἐνεργοῦσιν. Οὕτω δὲ σώματος ἡ ψυχή ἐστιν ἠρτημένη, ὡς μηδὲ νοεῖν ὅλως ἔχειν, μὴ ἅμα καί τινων ἐπί τε αἰσθήσεσι ϗ ἐγκεφάλῳ ἐγειρομένων κινήσεων. Ἐπιῤῥέουσιν ἄρα ϗ αὐτῇ τῇ ψυχῇ οἱ ἀστέρες· ἐπιῤῥέουσι δὲ δυνάμει μεγάλῃ. Τοιγαροῦν ἀντέχειν αὐτοὶ οὐ δυνάμεθα· εἰ δὲ ϗ ἀντέχοιμεν ποτὲ κατὰ τῶν προσβολῶν τούτων ἀντερειδόμενοι, ἀλλὰ γὰρ προσβολαῖς κρείττοσι ϗ ἀκμαιοτέραις ὑπείκοντες. Ὡς εἴτις ὑπὸ ἀντιθέτων αἰτίων θλιβόμενος ἢ ὠθούμενος ὑπὸ μὲν Α δυνάμει = 6, ὑπὸ δὲ Γ δυνάμει = 3, ἀντωθούμενος τὸ Γ ἀτέχειν μὲν νομιεῖ, προσέχων δὲ εἴσαιτο ἂν ὑπὸ αἰτίου εὐσθενεστέρου τοῦ Α ἄγεσθαι. Διαφέρει δ' οὐδὲν, εἰμὴ τῆς δυνάμεως ἐκείνης ἐν ἑαυτοῖς διαισθόμεθα. Ὥσπερ γὰρ ὁμολογουμένως τάς τε τῆς καρδίας, ϗ τῶν πνευμόνων, ϗ τῶν ἄλλων ἐν ἡμῖν κινήσεις, καίτοι ἀναγκαίας οὔσας, βίᾳ ἐν ἡμῖν αὐτοῖς τελεῖσθαι οὐ διαγιγνώσκομεν, ἀφορῶμεν δὲ αὐτὰς οἵας ἥδιστα ἡμῖν γινομένας, ὅτι ἥδιστα πάσχομεν, οὕτω συμβαίνει ϗ ἐπὶ τῆς ἡμῖν ἐπενεργούσης ὑπὸ τῶν ἀστέρων δυνάμεως. Οἷς πρόσθες, ὡς εἰμὴ ταῦτα οὕτως εἶχε, πῶς ἂν ἦν προορώμενα ὑπὸ τῶν ἀστρολογούντων τὰ ἐλευθέρως ἐσόμενα ϗ προλέγεσθαι; Πλήρεις δέ τοι αἱ ἱστορίαι τῶν τοιούτων προῤῥήσεων.

ΛΗ'. Πρὸς οὖν ταῦτα οὐδὲν ἔδει περαιτέρω προσθεῖναι, φθάσασιν ἤδη προεκθέσθαι ϗ δεῖξαι, τὰς τοῦ σώματος ἐντυπώσεις κινητικὰ μόνον τοῦ λόγου γίνεσθαι ὡς συναίτια, βίαν δὲ οὐδ' ἀνάγκην οὐδὲ τὴν τυχοῦσαν ἐπάγοντα. Ἀλλὰ γὰρ ἵνα καί τι προσθῶμεν πρὸς κρείττονα τοῦ πράγματος διασάφησιν, πρῶτον κἂν δῶμεν (οὐδὲ γὰρ πολὺς ἡμῖν ἐνταῦθα περὶ τούτου λόγος) πολὺ παρὰ τῶν ἀστέρων ἡμῶν τὴν κρᾶσιν διατίθεσθαι, ὡς δὴ ἀπὸ τοῦ ἀέρος ἠρτημένην, πρὸς ὃν ἐκεῖνοι ἐνεργεῖν πεφύκασιν, οὐδὲν ἀλλ' οὖν τοῦτο τὴν ἐν ἡμῖν ἐλευθερίαν λυμαίνεται μᾶλλον ἢ αἱ κατὰ τὰς κράσεις ῥοπαί. Ἐπεὶ γὰρ ἅπαντα ταῦτα τὸν ἐπὶ τῶν ἀντιληπτῶν ἀγαθῶν ἢ κακῶν βουλευτὴν ϗ ἡγεμόνα λόγον οὐκ ἐκτυφλοῦσιν, οὐδὲ πάντῃ αἴρουσιν, ἔχοιεν ἂν ἐν ἡμῖν δύναμιν τινὰ ἐμβαλεῖν τὴν θέλγουσαν ϗ κινοῦσαν, ἧς τῷ ὄντι ϗ αἰσθανόμεθα, καταναγκάσαι δὲ ϗ συναρπάσαι οὐδέποτ' ἂν ἔχοιεν. Οὐκ ἔστιν ὃς ἐν ἑαυτῷ πείρᾳ τὸ λεγόμενον οὐ συνίησι. Καὶ μὴν ἐξαπατώμεθα, φασὶ, τὰ προσεχῆ μόνα αἴτια τῶν ἡμετέρων αἱρέσεων ἢ ἀποστροφῶν ἀναθεωροῦντες, ἀμελοῦντες δὲ ϗ ἀλογιστοῦντες τῶν ποῤῥωτέρω. Ἀλλὰ πρῶτον εἰ ἐπὶ τοῖς λαμπρῶς γινωσκομένοις ἐξαπατᾶσθαι πεφύκασιν ἄνθρωποι, ἀμειπτέα ἐστὶν αὐτοῖς τὰ ὀνόματα, ϗ λεκτέον μὲν ἄγνοιαν

τὴν γνῶσιν, ϗ τἀναντίον· ςήσεται γὰρ δηλονότι μὴ κεκινημένα τὰ πράγματα. Εἶτα ϗ τούτους διαπυνθανόμεθα, πότερον ἄρα τὰ πορρωτέρω ἐκεῖνα αἴτια κάμπτει τὴν ἐλευθερίαν μεσιτεύοντι τῷ λόγῳ, ἢ νῦν ἀμέσως; Οὐδεὶς ἂν φαίη τὸ δεύτερον, οὐδὲ γὰρ λόγος ἡμῖν περὶ τῶν ἐνεργειῶν, ἐν αἷς ὁ λόγος οὐδαμῶς ἐφίςαται. Εἰ δὲ τὸ πρῶτον, ἔσονται ἄρα κινητικὰ ἐκεῖνα τῆς ἐλευθερίας, αἴτια δὲ οὐδαμῶς βίαν αὐτῇ ϗ ἀνάγκην ἐπάγοντα. Ἐφ᾽ ὅσον γὰρ τὰ διορίζοντα τὴν ἐλευθερίαν παρὰ τῷ λόγῳ κεῖται, μενεῖ δήπου ἡ τοῦ ἀνθρώπου ἐλευθερία ἀπαραλύμαντος, ὡς δέδεικται. Τὸ δὲ τῶν ἀστρολογούντων χρῆμα, τοῖς μὲν παρὰ τοῦ χύδην ὄχλου ἰσχύσειε τυχὸν πειθώ τινα ἐνιέναι, καίτοι οὐδὲ τούτων τοῖς ἐμβριθεςέροις τὴν σύνεσιν ϗ τὰς φρένας ὑγιεςέροις, ἀνδράσι δὲ φιλοσόφοις καταγέλαςα τὰ ἐκείνων ληρήματα, οὐχ ὅτι καί τινα ἀνὴρ συνέσει διαφέρων, ὀξύς τε ϗ ἰδεῖν ὧν ϗ νοῆσαι εἰκασίαις εὐλόγοις χρησάμενος, οὐκ ἄν ποτε προϊδὼν ἐσόμενα οἷός ἢ ϗ προαποφήνασθαι, ἀλλ᾽ ὅτι ὕθλος ϗ λῆρος ἐςίν, ἃ ἐπαγγέλλονται ἐκ τῆς τῶν ἀςέρων θέσεως αὐτοῖς προγινώσκεσθαι. Ἀρκέσειε δ᾽ ἂν πρὸς τούτους ἓν τοῦτο εἰπεῖν, ὅτι τοῖς ἄλλοις ὁδηγοὶ περὶ τῶν μελλόντων γινόμενοι, αὐτοὶ περὶ τὰ ἑαυτῶν ἀλόγως πάνυ προσκόπτουσι.

## ΚΕΦΑΛ. Ε'.

## Περὶ Κλίσεων, ϗ Ἕξεων, ϗ περὶ Μνήμης.

### Πρότ. ΜΔ'.

„Αἱ ἐπὶ τὸ ἀγαθὸν ϗ ἀληθὲς κλίσεις ἐν γένει ἔμφυτοι εἰσὶ τῷ „ἀνθρώπῳ, ϗ δὴ ϗ τῆς ἀνθρωπίνης φύσεως μηχανικοὶ νόμοι, οἷς τισιν ἐκείνη „ἐπὶ τὰ αὐτῇ προσήκοντα τέλη κινεῖται.

### Δεῖξις.

Αἱ ἅπασι ϗ κατὰ πᾶσαν ἡλικίαν ἀνθρώπων κλίσεις προσοῦσαι, αἱ οὐδ᾽ ἐπίτασιν, οὔθ᾽ ὕφεσιν ἐπιδεχόμεναι, ἔμφυτοι πάντως εἰσὶ τῷ γένει ὅλῳ, οἷα δὴ ϗ αἱ οὕτω τοῖς σώμασιν ἐνοῦσαι ποιότητες (1). Τοιαῦται δὲ αἱ ἐπὶ τ᾽ ἀγαθὸν ϗ τ᾽ ἀληθὲς ἐν γένει κλίσεις. Καὶ ἡ μὲν ἐπὶ τὸ Α'. κοινὴ ϗ τοῖς κτήνεσιν, ὥςε προσήκειν τῇ ζωτικῇ φύσει ἀναμφιλέκτως. Ἡ δὲ ἐπὶ τὸ Β'. οὕτως

---

(1) Νευτώνειος ὁ νόμος ἐγκριθεὶς ἅπασι.

Ε.Υ.Δ. της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006